# ΠΡΟΣ ΤΙΤΟΝ

1 Παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ
Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν
2 ἀληθείας τῆς κατ' εὐσέβειαν | ἐπ' ἐλπίδι ζωῆς
αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ
E 1,9.10. 1 T 1,1.11. 3 χρόνων αἰωνίων, ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν
λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ'
1 T 1,2. 4 ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ, Τίτῳ γνησίῳ
τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ σωτῆρος
ἡμῶν.
5 Τούτου χάριν ἀπέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ
λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν
1 T 3,2–4. 6 πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, | εἴ τίς ἐστιν
ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά,
1 K 4,1. 2 T 2,24. 1 P 5,2. 7 μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. δεῖ γὰρ
τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θεοῦ οἰκο-
νόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ
8 πλήκτην, μὴ αἰσχροκερδῆ, | ἀλλὰ φιλόξενον, φιλά-
2,1. 1 T 1,10. 2 T 4,3. 9 γαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, | ἀντεχό-
μενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα
δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ
10 ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶν
γὰρ πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρενα-
2 T 3,6. 11 πάται, μάλιστα οἱ ἐκ τῆς περιτομῆς, | οὓς δεῖ

---

*1* W *Χριστου Ιησου* h *Χριστου [Ιησου]* *2.3* H *αιωνιων εφ. ... ιδιοις,* *5* ℌ *απελειπον* *10* W *πολλοί,*

---

*2 επ : εν* *4 και* $1^{o}$ *: ελεος* | *και* $2^{o}$ *: + κυριου* *5 κατελιπον* vl *κατελειπον* | *επιδιορθωσης* *9 εν ... υγιαινουση : τους εν παση θλιψει* | fin + *μη χειροτονειν διγαμους μηδε διακονους αυτους ποιειν, μηδε γυναικας εχειν εκ διγαμιας· μηδε προσερχεσθωσαν εν τω θυσιαστηριω λειτουργειν το θειον. τους αρχοντας τους αδικοκριτας και αρπαγας και ψευστας και ανελεημονας ελεγχε ως θεου διακονος* *10 πολλοι : + και* | *— της*

ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσιν
διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν. εἶπέν 12
τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης·
Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες
ἀργαί.
ꜛἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. δι' ἣν αἰτίαν 13 2 T 4,2.
ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ
πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ 14 1 T 4,7.
ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.
πάντα καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιαμ- 15 Mt 15,11. R 14,20.
μένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίαν-
ται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. θεὸν 16 2 T 3,5.
ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται,
βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον
ἀγαθὸν ἀδόκιμοι.

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδα- 2 1 T 6,3. 2 T 1,13.
σκαλίᾳ. πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, 2 1 T 5,1.
σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ
ὑπομονῇ· πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι 3 1 T 3,11.
ἱεροπρεπεῖς, μὴ διαβόλους, μηδὲ οἴνῳ πολλῷ
δεδουλωμένας, καλοδιδασκάλους, ꜛἵνα σωφρονί- 4
ζουσιν τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους,
ꜛσώφρονας, ἁγνάς, οἰκουργούς, ἀγαθάς, ὑποτασ- 5 E 5,22.
σομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ
θεοῦ βλασφημῆται. Τοὺς νεωτέρους ὡσαύτως παρα- 6
κάλει σωφρονεῖν ꜛπερὶ πάντα σεαυτὸν παρεχόμενος 7 1 T 4,12. 1 P 5,3.
τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀφθορίαν,
σεμνότητα, ꜛλόγον ὑγιῆ ἀκατάγνωστον, ἵνα ὁ ἐξ 8 1 P 2,15.

---

13 H [εν] 2,3 μηδε : h μη 4 HW σωφρονιζωσι (W -ιν) 5 W οικουργους αγαθας, 6.7 TW σωφρονειν π. παντα, 7 h εργων εν τ. διδασκαλια,

---

11 fin + τα τεκνα τους ιδιους γονεις υβριζοντες η τυπτοντες επιστομιζε και ελεγχε και νουθετει ως πατηρ τεκνα 12 ειπεν δε 14 εντολ. : γενεαλογιαις 15 παντα : + μεν 16 μη ειδεναι | — και et αγαθον 2,3 ιεροπρεπει 5 οικουρους | θεου : + και η διδασκαλια 7 παντας εαυτον | αδιαφθοριαν | σεμνοτ. : + αφθαρσιαν

ἐναντίας ἐντραπῇ μηδὲν ἔχων λέγειν περὶ ἡμῶν
E 6,5. 1 T 6,1. 1 P 2,18. 9 φαῦλον. δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι,
1,3. 10 ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, ˈμὴ
νοσφιζομένους, ἀλλὰ πᾶσαν πίστιν ἐνδεικνυμένους
ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τὴν τοῦ σωτῆρος
11 ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ
ἡ χάρις τοῦ θεοῦ σωτήριος πᾶσιν ἀνθρώποις,
E 1,4. 12 ˈπαιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν
καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως
1 K 1,7. R 5,2. Ph 3,20. 13 καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχό-
μενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς
G 1,4. 1 T 2,6. E 2,10. δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Χρι-
Ps 130,8. 14 στοῦ Ἰησοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν ἵνα
Ex 19,5. Dt 14,2. **λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθα-**
Ez 37,23. 1 P 3,13. **ρίσῃ ἑαυτῷ λαὸν περιούσιον**, ζηλωτὴν καλῶν
1 T 4,12. 15 ἔργων. Ταῦτα λάλει καὶ παρακάλει καὶ
ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περι-
1 P 2,13. 3 φρονείτω. Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς ἐξ-
ουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν
Ph 4,5. 2 ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν,
ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους
1 K 6,11. E 2,2; 5,8. 3 πραΰτητα πρὸς πάντας ἀνθρώπους. Ἦμεν γάρ
ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι,
δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,
ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες
2,11. Prv 8,31. 4 ἀλλήλους. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία
E 2,8.9. J 3,5. K 5,26. 5 ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων
τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ
τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιν-

---

*9* H *υποτασσεσθαι εν πασιν,* *10 μη* : h *μηδε* | *πιστ. ενδεικν. αγαθην* : h *ενδεικν. αγαπην* *13* h *ημων,* | hR *Ιησου Χριστου* 3,*1 Υπομιμν.* : W+ *δε* | *αρχαις* : W+ *και* | H *υποτασσεσθαι πειθαρχειν*

---

*8 ημων : υμων* *10 — την* 2⁰ *11 σωτ.* : pr *η* *15 διδασκε* | *καταφρονειτω* 3,*1 πειθαρχ.* : pr *vl* + *και* *2 πραοτ. : σπουδην* *3 ανοητοι* : + *και* *5 α : ων*

γενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ 6 Joel 3,1.
ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ
τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου 7 R 8,24.
χάριτι κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς
αἰωνίου. Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βού- 8 14.
λομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσιν καλῶν
ἔργων προΐστασθαι οἱ πεπιστευκότες θεῷ. ταῦτά
ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· μωρὰς 9 1 T 4,7.
δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔριν καὶ μάχας
νομικὰς περιΐστασο· εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μά-
ταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευ- 10 2 J 10. Mt 18,15.16.
τέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται 11 1 T 6,4.5.
ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν, 12 2 T 4,12.
σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ
γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν 13 Act 18,24. 1 K 3,5.6.
καὶ Ἀπολλῶν σπουδαίως πρόπεμψον, ἵνα μηδὲν
αὐτοῖς λείπῃ. μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι 14 2,14. E 4,28. 29. Mt 7,19.
καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας
χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι 15
τοὺς φιλοῦντας ὑμᾶς ἐν πίστει.

Ἡ χάρις μετὰ πάντων ὑμῶν.

---

*9* R ερεις *10* h^r— και δευτεραν *12* RW πρός σε | H Τύχικον *13* R Απολλὼ | hT λιπη

---

*5* πνευμ. : pr δια *7* γενωμεθα *8* τα καλα *9* γενεαλ. : λογομαχιας *15* ασπασασθε | χαρις : + του κυριου *vl* τ. θεου | fin + αμην

Subscriptio: προς Τιτον (+ της Κρητων εκκλησιας πρωτον επισκοπον χειροτονηθεντα) εγραφη απο Νικοπολεως της Μακεδονιας (missa per Arteman *vl* per Zenam et Apollo).

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`